αὐτὰ ταῦτα ἀδικήσῃ τὰ ἀγάλματα τῶν θεῶν, οὐδ' αὐτῶν
κωλύσετε τῶν ἱερῶν ἐπιβαίνειν ἢ εἰσιόντα ⟨οὐ⟩ τιμω-
ρήσεσθε; καὶ μὲν δὴ τούτων καὶ δίκαιον καὶ ἀγαθόν
ἐστιν ἐπιμελεῖσθαι, ὑφ' ὧν καὶ εὖ καὶ κακῶς δυνήσεσθε
16 πάσχειν. φασὶ δὲ καὶ τῶν Ἑλλήνων πολλοὺς διὰ τὰ ἐν-
θάδε ἀσεβήματα ἐκ τῶν παρ' αὐτοῖς ἱερῶν ἐξείργειν.
ὑμεῖς δὲ αὐτοὶ οἱ ἀδικηθέντες περὶ ἐλάττονος ποιεῖσθε
17 τὰ παρ' ὑμῖν νόμιμα ἢ ἕτεροι τὰ ὑμέτερα. τοσοῦτο δ'
οὗτος Διαγόρου τοῦ Μηλίου ἀσεβέστερος γεγένηται·
ἐκεῖνος μὲν γὰρ λόγῳ περὶ τὰ ἀλλότρια ἱερὰ καὶ ἑορτὰς
ἠσέβει, οὗτος δὲ ἔργῳ περὶ τὰ ἐν τῇ αὐτοῦ πόλει. ὀργί-
ζεσθαι οὖν χρή, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἀστοῖς ἀδικοῦσι
μᾶλλον ἢ τοῖς ξένοις περὶ ταῦτα [τὰ ἱερά]· τὸ μὲν γὰρ
18 ὥσπερ ἀλλότριόν ἐστιν ἁμάρτημα, τὸ δ' οἰκεῖον. καὶ μὴ
οὓς μὲν ἔχετε ἀδικοῦντας ἀφίετε, τοὺς δὲ φεύγοντας ζη-
τεῖτε συλλαμβάνειν, ἐπικηρύττοντες τάλαντον ἀργυρίου
δώσειν τῷ | ἀπάγοντι ἢ ἀποκτείναντι. εἰ δὲ μή, δόξετε
τοῖς Ἕλλησι κομπάζειν μᾶλλον ἢ τιμωρεῖσθαι βούλεσθαι.
19 ἐπεδείξατο δὲ καὶ τοῖς Ἕλλησιν ὅτι θεοὺς οὐ νομίζει.
οὐ γὰρ ὡς δεδιὼς τὰ πεποιημένα, ἀλλ' ὡς θαρρῶν, ναυ-
κληρίᾳ ἐπιθέμενος τὴν θάλατταν ἔπλει. ὁ δὲ θεὸς ὑπῆ-
γεν αὐτόν, ἵνα ἀφικόμενος εἰς τὰ ἁμαρτήματα ἐπὶ τῇδε
20 τῇ προφάσει δοίη δίκην. ἐλπίζω μὲν οὖν αὐτὸν καὶ δώ-
σειν δίκην, θαυμάσιον δὲ οὐδὲν ἄν μοι γένοιτο. οὔτε
γὰρ ὁ θεὸς παραχρῆμα κολάζει, [ἀλλ' αὕτη μέν ἐστιν
ἀνθρωπίνη δίκη] — πολλαχόθεν δὲ ἔχω τεκμαιρόμενος
εἰκάζειν, ὁρῶν καὶ ἑτέρους ἠσεβηκότας χρόνῳ δεδωκότας
δίκην, καὶ τοὺς ἐξ ἐκείνων διὰ τὰ τῶν προγόνων ἁμαρ-
τήματα — ἐν δὲ τούτῳ τῷ χρόνῳ δέη πολλὰ καὶ κινδύ-
νους ὁ θεὸς ἐπιπέμπει τοῖς ἀδικοῦσιν, ὥστε πολλοὺς ἤδη
ἐπιθυμῆσαι τελευτήσαντας τῶν κακῶν ἀπηλλάχθαι. ὁ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/66 UNIVERSITÄT LEIPZIG